τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ ὧν βουλεύονται. περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν, ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. ὥστε διωρισμένον ἂν εἴη, πῶς τε, καὶ διὰ τίνων τοὺς λόγους τοὺς ἠθικοὺς ποιήσομεν. ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων, ἕτερόν τι τὸ τέλος ἦν, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσίν, ἐξ ὧν τὰς πίστεις φέρουσι καὶ συμβουλεύοντες, καὶ ἐπιδεικνύοντες, καὶ ἀμφισβητοῦντες· ἔτι δὲ, ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται· λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ ἀναγκαῖον, τὰ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις· καὶ τοὺς μὲν, ὡς ἔσται· τοὺς δὲ, ὡς γέγονε πειρᾶσθαι δεικνύναι. ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων· χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν, καὶ συμβουλεύοντες ἢ ἀποτρέποντες, καὶ ἐπαινοῦντες ἢ ψέγοντες, καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι. τούτων δὲ διορισθέντων, περὶ τῶν ἐνθυμημάτων κοινῇ πειρασθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν· καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες, ἀποτελέσωμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. ἔστι δὲ τῶν κοινῶν, τὸ μὲν αὔξειν, οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται· τὸ δὲ γεγονὸς, τοῖς δικανικοῖς· περὶ τούτων γὰρ ἡ κρίσις· τὸ δὲ δυνατὸν καὶ ἐσόμενον, τοῖς συμβουλευτικοῖς.

Κεφάλαιον ιθ.

ΠΡῶτον μὲν οὖν περὶ δυνατῶν καὶ ἀδυνάτων λέγωμεν. ἂν δὴ τὸ ἐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν· οἷον, εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. καὶ εἰ τὸ ὅμοιον δυνατὸν, καὶ τὸ ὅμοιον. καὶ εἰ τὸ χαλεπώτερον δυνατὸν, καὶ τὸ ῥᾷον. καὶ εἰ τὸ σπουδαῖον ἢ καλὸν γενέσθαι δυνατὸν, καὶ ὅλως γενέσθαι δυνατόν· χαλεπώτερον γὰρ καλὴν οἰκίαν, ἢ οἰκίαν εἶναι. καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος· οὐδὲν γὰρ γίγνεται οὐδὲ ἄρχεται γίνεσθαι τῶν ἀδυνάτων· οἷον, τὸ σύμμετρον τὴν διάμετρον εἶναι, οὔτε ἂν ἄρξαιτο γίγνεσθαι, οὔτε γίγνεται. καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον· οἷον, εἰ ἄνδρα γενέσθαι δυνατὸν,

A quæ enim verſantur in controuerſia, ea quæruntur, quomodo ſe habeant: & de quibus conſultant: de moribus verò Rerumpub. in deliberatiuis dictum eſt prius: idcirco explicatum eſt, & quomodo, & per quæ orationes moratas efficiamus. Et quoniam circa vnumquodque genus orationum diuerſus quidam finis erat, ac de omnibus iis dictæ ſunt opiniones, & propoſitiones, ex quibus fidem ducunt tum conſulentes, tum demonſtrantes, tum B controuerſantes: præterea verò ex quibus moratas orationes contingit reddere, etiam de his eſt diſputatum: reliquum eſt nobis, vt communia explicemus. Omnibus enim neceſſarium eſt, ea, quæ ſunt de eo, quod fieri, & non fieri poteſt, adhibere in orationibus. Et alios quidem, futurum eſſe, alios verò factum eſſe, conari oſtendere. Præterea verò de magnitudine communiter quærendum eſt in omnibus orationibus. C Vtuntur enim omnes diminutione, & amplificatione, tum conſulentes, ſiue ſuadeant, ſiue diſſuadeant: tum laudantes. aut vituperantes: tum accuſantes, aut defendentes. His autem explicatis, tum de enthymematibus conabimur dicere communiter, tum de exemplis, vt, cum reliqua addiderimus, ad finem perducamus id, quod initio propoſuimus. Eſt autem ex communibus amplificare aptiſſimum D demonſtratiuis, vt expoſuimus. Factum verò iudicialibus: de his enim iudicium eſt. At id, quod fieri poteſt, & futurum, deliberatiuis.

Проверено
1964 г.

CAPVT XIX.

AC primùm quidem de iis, quæ fieri poſſunt, & non poſſunt, dicamus. Si igitur contrarium poteſt vel eſſe, vel fieri, etiam contrarium videbitur eſſe poſſe. E vt ſi fieri poteſt, vt conualuerit homo, etiam, vt ægrotauerit: eadem enim eſt facultas contrariorum, quatenus contraria ſunt. Et, ſi ſimile fieri poteſt, etiam ſimile. Et ſi difficilius fieri poteſt, etiam facilius. Et ſi virtute præditus, vel pulcher fieri poteſt, etiam omnino fieri poteſt: difficilius enim eſt domum pulchram, quàm domum fieri. Et cuius principium poteſt fieri, F etiam finis: nihil enim fit, neque incipit fieri eorum, quæ fieri non poſſunt, quemadmodum vt diameter fit ſymmeter, neque inciperet fieri, neque fit. Et cuius finis, etiam principium fieri poteſt: omnia enim ex principio fiunt. Et ſi poſterius eſſentia, vel ortu poteſt fieri, etiam prius. quemadmodum ſi vt vir fiat. fieri poteſt